# *ΙΣΘΜΙΟΝΙΚΑΙΣ*

## I (458?)

## *⟨ΗΡΟΔΟΤΩΙ ΘΗΒΑΙΩΙ ΑΡΜΑΤΙ⟩*

metrum: dactyloepitr. *Α′–Δ′*

*ΣΤΡ* D – e × | $^2$ D $^{2\cdot 42}_{⏑⏑}$ e || $^3$ e – D – || $^4$ D || $^5$ $^{5}_{⏑⏑}$ e – D ||
$^6$ e – D d$^1$ E |||

*ΕΠ* – e – D – e || $^2$ D – D – e || $^3$ D – e – d$^1$ ||
$^4$ – e $^{16}_{⏑⏑}$ d$^1$ E × | $^5$ – E $^{17}_{⏑⏑}$ D – E – |||

*Α′* *Μᾶτερ ἐμά, τὸ τεόν, χρύσασπι Θήβα,*
*πρᾶγμα καὶ ἀσχολίας ὑπέρτερον*
[3] *θήσομαι. μή μοι κραναὰ νεμεσάσαι*
*Δᾶλος, ἐν ᾇ κέχυμαι.*
*τί φίλτερον κεδ'νῶν τοκέων ἀγαθοῖς;*
[6] *εἶξον, ὦ Ἀπολλωνιάς· ἀμφοτερᾶν*
— *τοι χαρίτων σὺν θεοῖς ζεύξω τέλος,*
*καὶ τὸν ἀκερσεκόμαν Φοῖβον χορεύων*
*ἐν Κέῳ ἀμφιρύτᾳ σὺν ποντίοις*
[3] *ἀνδράσιν, καὶ τὰν ἁλιερκέα Ἰσθμοῦ*
*δειράδ᾽· ἐπεὶ στεφάνους*
*ἓξ ὤπασεν Κάδ'μου στρατῷ ἐξ ἀέθλων,*